πρᾶξαι παρέξω· σὺν δ' Ἀδραστείᾳ λέγω·
ἐπειδὰν ἐχθρῶν τήνδ' ἐλευθέραν πόλιν
θῶμεν θεοῖσί τ' ἀκροθίνι' ἐξέλῃς,
ξὺν σοὶ στρατεύειν γῆν ἐπ' Ἀργείων θέλω
καὶ πᾶσαν ἐλθὼν Ἑλλάδ' ἐκπέρσαι δορί,
ὡς ἂν μάθωσιν ἐν μέρει πάσχειν κακῶς.
ΕΚ. εἰ τοῦ παρόντος τοῦδ' ἀπαλλαχθεὶς κακοῦ
πόλιν νεμοίμην ὡς τὸ πρίν ποτ' ἀσφαλῆ,
ἦ κάρτα πολλὴν θεοῖς ἂν εἰδείην χάριν.
τὰ δ' ἀμφί τ' Ἄργος καὶ νομὸν τὸν Ἑλλάδος
οὐχ ὧδε πορθεῖν ῥᾴδι', ὡς λέγεις, δορί.
ΡΗ. οὐ τούσδ' ἀριστέας φασὶν Ἑλλήνων μολεῖν;
ΕΚ. κοὐ μεμφόμεσθά γ', ἀλλ' ἄδην ἐλαύνομαι.
ΡΗ. οὐκοῦν κτανόντες τούσδε πᾶν εἰργάσμεθα.
ΕΚ. μή νυν τὰ πόρρω τἀγγύθεν μεθεὶς σκόπει.
ΡΗ. ἀρκεῖν ἔοικέ σοι παθεῖν, δρᾶσαι δὲ μή.
ΕΚ. πολλῆς γὰρ ἄρχω κἀνθάδ' ὢν τυραννίδος.
ἀλλ' εἴτε λαιὸν εἴτε δεξιὸν κέρας,
εἴτ' ἐν μέσοισι συμμάχοις, πάρεστί σοι
πέλτην ἐρεῖσαι καὶ καταστῆσαι στρατόν.
ΡΗ. μόνος μάχεσθαι πολεμίοις, Ἕκτορ, θέλω.
εἰ δ' αἰσχρὸν ἡγεῖ μὴ συνεμπρῆσαι νεῶν
πρύμνας, πονήσας τὸν πάρος πολὺν χρόνον,
τάξον μ' Ἀχιλλέως καὶ στρατοῦ κατὰ στόμα.
ΕΚ. οὐκ ἔστ' ἐκείνῳ θοῦρον ἐντάξαι δόρυ.
ΡΗ. καὶ μὴν λόγος γ' ἦν ὡς ἔπλευσ' ἐπ' Ἴλιον.
ΕΚ. ἔπλευσε καὶ πάρεστιν· ἀλλὰ μηνίων
στρατηλάταισιν οὐ συναίρεται δόρυ.
ΡΗ. τίς δὴ μετ' αὐτὸν ἄλλος εὐδοξεῖ στρατοῦ;
ΕΚ. Αἴας ἐμοὶ μὲν οὐδὲν ἡσσᾶσθαι δοκεῖ
χὠ Τυδέως παῖς· ἔστι δ' αἱμυλώτατον
κρότημ' Ὀδυσσεύς, λῆμά τ' ἀρκούντως θρασὺς
καὶ πλεῖστα χώραν τήνδ' ἀνὴρ καθυβρίσας·

476. πολλοῖς ABC    480. ἐλαύνομαι] Hartungius, ἐλαύνομεν libri.
481. πάντ' ABC